εἰ ταὐτὰ λέγουσιν οἱ οἰκεῖοι καὶ οἱ τυχόντες, πῶς οὐχ ὁμοίως τὰ λεγόμενα πιστὰ εἴη ἂν ἢ ἄπιστα;—Ἀνάγκη, εἶπεν.— c Οὐκοῦν καὶ τοῖς λέγουσιν αὐτὰ ὁμοίως πιστευτέον λέγουσιν αὐτά;—Πιθανόν, εἶπεν.

Ταῦτ' οὖν λεγόντων αὐτῶν ἠπόρουν τίσιν ποτὲ δεῖ πιστεύειν καὶ τίσιν οὔ, καὶ πότερον τοῖς πιστοῖς καὶ τοῖς εἰδόσι περὶ ὧν λέγουσιν ἢ τοῖς οἰκείοις καὶ τοῖς γνωρίμοις. περὶ τούτων οὖν πῶς σὺ νομίζεις;

# ΣΙΣΥΦΟΣ

St. III p. 387

## ΣΩΚΡΑΤΗΣ ΣΙΣΥΦΟΣ

ΣΩ. Ἡμεῖς δὲ καὶ χθές σε πολὺν χρόνον ἀνεμείναμεν, ὦ b Σίσυφε, ἐπὶ τῇ Στρατονίκου ἐπιδείξει, ὅπως ἂν συνηκροῶ ἡμῖν ἀνδρὸς σοφοῦ πολλά τε καὶ καλὰ ἐπιδεικνυμένου πράγματα καὶ λόγῳ καὶ ἔργῳ, καὶ ἐπεὶ σὲ οὐκέτι ᾠόμεθα παρέσεσθαι, αὐτοὶ ἤδη ἠκροώμεθα τἀνδρός.

ΣΙ. Ναὶ μὰ τὸν Δία· ἀσχολία γάρ μοί τις ἐγένετο ἀναγκαιοτέρα, ὥστε μὴ παραμελῆσαι αὐτῆς. οἱ γὰρ ἄρχοντες ἡμῶν ἐβουλεύοντο χθές· συμβουλεύειν οὖν αὐτοῖς ἠνάγκαζόν c με. ἡμῖν δὲ τοῖς Φαρσαλίοις καὶ νόμος ἐστὶ τοῖς ἄρχουσι πείθεσθαι, ἂν κελεύωσι συμβουλεύειν τινὰ ἡμῶν αὐτοῖς.

ΣΩ. Ἀλλὰ καλὸν τό τε τῷ νόμῳ πείθεσθαι, τό τε ὑπὸ τῶν πολιτῶν δεδοξάσθαι εὔβουλον εἶναι, ὥσπερ καὶ σὺ δεδόξασαι εὔβουλος εἶναι εἷς τῶν Φαρσαλίων. ἀτάρ, ὦ Σίσυφε, ἐγὼ γὰρ οὔπω περὶ τοῦ εὖ βουλεύεσθαι τοὺς λόγους ἂν δυναίμην ποιήσασθαι πρὸς σέ, ἡγούμενος καὶ σχολῆς εἶναι d πολλῆς καὶ λόγου μακροῦ, ἀλλὰ περὶ αὐτοῦ τοῦ βουλεύεσθαι πρῶτον, ὅτι ἔστιν, ἐγχειρήσαιμ' ἂν διαλεχθῆναί σοι. ἆρ' οὖν

387 c 1 αὐτοῖς libri d 3 πρῶτον A Z · om. Y

ἔχοις ἄν μοι εἰπεῖν αὐτὸ τὸ βουλεύεσθαι ὅτι ποτ' ἔστιν; μή μοι ἢ τὸ εὖ ἢ κακῶς ἢ τὸ καλῶς πως, ἀλλ' αὐτὸ μόνον τὸ βουλεύεσθαι, ὁποῖόν τί ἐστιν. ἢ καὶ πάνυ ῥᾳδίως, αὐτός γε οὕτως εὔβουλος ὤν; ἀλλὰ μὴ ἐμὴ περιεργία ᾖ καὶ τὸ ἐρωτῆσαί σε περὶ τούτου;

ΣΙ. Ἦ σοι γὰρ ἄγνωστόν ἐστιν ὅτι τὸ βουλεύεσθαί ἐστιν;

e ΣΩ. Ἔμοιγε, ὦ Σίσυφε, εἴ γέ τι ἄλλο ἐστὶν ἢ ὅπερ τὸ μὴ ἐπιστάμενόν τινα περὶ ὧν ἂν δέῃ τι πράττειν, διαμαντευόμενον καὶ σχεδιάζοντα λέγειν ὅτι ἂν τύχῃ, εἰκάζοντα καὶ κατὰ ταὐτὰ αὐτῷ, ὥσπερ καὶ οἱ ἀρτιάζοντες τῶν ἀνθρώπων, οὐδὲν ἐπιστάμενοι δήπου περὶ τῶν ἀρτίων τε καὶ περιττῶν ὧν ἂν ἐν ταῖς χερσὶν ταῖς αὑτῶν ἔχωσιν, ὅμως ἐπιτυγχάνουσι
388 λέγοντες περὶ τῶν αὐτῶν τἀληθῆ. πολλάκις μὲν οὖν τοιοῦτόν τι καὶ τὸ βουλεύεσθαί ἐστιν, οἷον μηδὲν ἐπιστάμενον περὶ ὧν ἂν βουλεύηταί τις, ἀπὸ τύχης εἰπόντα ἐπιτυγχάνειν τἀληθῆ. εἰ μὲν οὖν τοιοῦτόν ἐστιν, γιγνώσκω δὴ οἷον τὸ βουλεύεσθαί ἐστιν· εἰ μέντοι γε μὴ τοιοῦτόν ἐστιν, οὐκ ἄν πω ἐπισταίμην αὐτό.

ΣΙ. Οὐ τοίνυν τοιοῦτόν ἐστιν ὅπερ τὸ μὴ ἐπίστασθαι κομιδῇ μηδέ τι, ἀλλ' οἷον τὸ μὲν εἰδέναι τι τοῦ πράγματος ἤδη, τὸ δὲ μηδέπω ἐπίστασθαι.

b ΣΩ. Ἆρα τοιόνδε τι λέγεις τὸ βουλεύεσθαι πρὸς τοῦ Διός—ὥσπερ γὰρ ἂν καὶ αὐτὸς ὑπομαντεύεσθαί μοι δοκῶ τὴν διάνοιάν σου περὶ τοῦ εὖ βουλεύεσθαι—οἷον τὸ ζητεῖν τὰ βέλτιστα ἐξευρεῖν τινα ἑαυτῷ διαπράξασθαι, μηδέπω δὲ ἐπίστασθαι σαφῶς, ἀλλ' ὥσπερ ἐν νοήσει τινὰ εἶναι; τοῦτο οὐχ οὕτω πως λέγεις;

ΣΙ. Ἔγωγε.

ΣΩ. Ζητοῦσι δ' οἱ ἄνθρωποι πότερον ἃ ἂν ἐπιστῶνται
c τῶν πραγμάτων, ἢ καὶ ἃ ἂν μὴ ἐπιστῶνται;—ΣΙ. Ἀμφότερα. —ΣΩ. Ἆρ' οὖν καὶ τοῦθ' οὕτως πως λέγεις, τὸ ζητεῖν ἀμφό-

e 1 εἴ γέ scr. Ven. 184 : εἴτε A Y Z e 4 ἀρτιάζοντες scr. Ven. 184 : ἁρπάζοντες A Y Z a 7 ὅπερ τὸ A : οἷόνπερ Y : ὅπερ Z a 8 μηδέ τι A : μηδὲν Y : μηδ' ἔτι Z b 3 βουλεύεσθαι Y Z : βούλεσθαι A b 5 τινὰ A Y Z : τινὶ vulg.

τερα τοὺς ἀνθρώπους, ἃ ἄν τε ἐπιστῶνται καὶ ἃ ἂν μὴ ἐπιστῶνται, ὅμοιον ὥσπερ εἴ τις Καλλίστρατον γιγνώσκοι μὲν ὅστις ὁ Καλλίστρατος, μὴ μέντοι ἐπίσταιτο ὅπου εἴη ἐξευρεῖν, οὐχ ὅστις εἴη ὁ Καλλίστρατος. ἆρ' οὕτω πως λέγεις τὸ ζητεῖν εἶναι ἀμφότερα;—ΣΙ. Ἔγωγε.—ΣΩ. Οὐκοῦν ἐκεῖνο μὲν οὐκ ἂν ζητοίη, τὸν Καλλίστρατον εἰδέναι, ὅ γε εἰδώς;—ΣΙ. Οὐ γάρ.—ΣΩ. Ὅπου δέ γε εἴη, ζητοίη ἂν αὐτόν. d
—ΣΙ. Ἔμοιγε δοκεῖ.—ΣΩ. Οὐκοῦν οὐδὲ τοῦτο ἐζήτει, ὅπου ἦν ἐξευρεῖν αὐτόν, εἰ ᾔδει· ἀλλ' ἐξηῦρεν ἂν εὐθέως;—ΣΙ. Ναί.

ΣΩ. Οὐκ ἄρα ταῦτά γε δὴ ζητοῦσιν ἅττα ἂν ἐπιστῶνται οἱ ἄνθρωποι, ἀλλὰ ἃ ἂν μὴ ἐπιστῶνται, ὡς ἔοικεν. εἰ δέ σοι οὗτος ὁ λόγος ἐριστικὸς εἶναι δοκεῖ, ὦ Σίσυφε, καὶ μὴ τοῦ πράγματος ἕνεκα λέγεσθαι ἀλλ' αὐτοῦ τοῦ διαλέγεσθαι μόνον, σκόπει δὲ καὶ ὧδε ἐὰν δοκῇ σοι οὕτως ἔχειν ὥσπερ καὶ νῦν e
λέγεται. ἆρα γὰρ οὐκ ἐν τῇ γεωμετρίᾳ οἶσθα τοῦτο γιγνόμενον· ἀγνοουμένην τὴν διάμετρον τοῖς γεωμέτραις, οὐκ εἰ διάμετρός ἐστιν ἢ μή—οὐδὲ γὰρ οὐδὲ ζητεῖται τοῦτο ὑπ' αὐτῶν εὑρεθῆναι—ἀλλ' ὁπόση τίς ἐστιν μέτρῳ πρὸς τὰς πλευρὰς τῶν χωρίων ὧν ἂν διατέμνῃ; ἆρ' οὐ τοῦτό ἐστιν αὐτὸ τὸ ζητούμενον περὶ αὐτῆς;—ΣΙ. Ἔμοιγε δοκεῖ.—ΣΩ. Ὅπερ καὶ ἀγνοεῖται. ἢ γάρ;—ΣΙ. Πάνυ γε.—ΣΩ. Τί δέ; ὁ τοῦ κύβου διπλασιασμὸς οὐκ οἶσθ' ὅτι ζητεῖται τοῖς γεωμέτραις ὁπόσος τίς ἐστιν εὑρεθῆναι λόγῳ; αὐτὸς δὲ ὁ κύβος οὐ ζητεῖται αὐτοῖς εἰ κύβος ἐστὶν ἢ μή, ἀλλ' ἐπίστανται τοῦτό γε. ἢ γάρ;
—ΣΙ. Ναί.—ΣΩ. Οὐκοῦν καὶ περὶ τοῦ ἀέρος Ἀναξαγόραν 389
τε καὶ Ἐμπεδοκλέα καὶ τοὺς ἄλλους τοὺς μεταρσιολέσχας ἅπαντας οἶσθα ζητοῦντας πότερον ἄπειρός ἐστιν ἢ πέρας ἔχων;—ΣΙ. Ναί.—ΣΩ. Ἀλλ' οὐκ ἐκεῖνο, εἰ ἀήρ ἐστιν. ἢ γάρ;—ΣΙ. Οὐ δῆτα.—ΣΩ. Συγχωρήσαις ἂν οὖν μοι καὶ κατὰ τῶν ἄλλων πάντων οὕτως ἔχειν ἤδη, μηδὲν μηδενὶ εἶναι

c 8 ὅ γε scr. Ven. 184 : ὅτε A Y Z  d 5 ἅττα ἂν Y : ἅττα ἃ ἂν A Z
e 8 δέ] δαί fecit Λ[2]  a 4 ἀήρ A Z : ὁ ἀήρ Y  a 6 ἤδη] ἢ δὴ Λ

ζητεῖν τῶν ἀνθρώπων ὧν ἂν ἐπίστηταί τις, ἀλλὰ μᾶλλον ὧν
ἂν μὴ ἐπίστηται;—ΣΙ. Ἔγωγε.
b ΣΩ. Οὐκοῦν καὶ τὸ βουλεύεσθαι τοῦτο ἐδόκει ἡμῖν εἶναι
αὐτό, τὸ ζητεῖν τὰ βέλτιστά τινα ἐξευρεῖν περὶ ὧν ἂν δέοιτο
διαπράττεσθαι αὐτῷ;—ΣΙ. Ναί.—ΣΩ. Τὸ δὲ ζητεῖν γε ὅπερ
τὸ βουλεύεσθαι ἦν περὶ τῶν πραγμάτων. ἦ γάρ;—ΣΙ. Πάνυ
μὲν οὖν.—ΣΩ. Οὐκοῦν σκεπτέον ἡμῖν ἐστι νῦν ἤδη τί ἐστιν
ἐμποδὼν τοῖς ζητοῦσιν περὶ ὧν ἂν τὴν ζήτησιν ποιῶνται εἰς
τὸ ἐξευρεῖν.—ΣΙ. Ἔμοιγε δοκεῖ.—ΣΩ. Ἆρ' οὖν ἄλλο τι
c φαίημεν ἂν αὐτοῖς ἐμποδὼν εἶναι ἢ τὴν ἀνεπιστημοσύνην;—
ΣΙ. Σκοπῶμεν νὴ Δία.

ΣΩ. Ὑπερφυῶς μὲν οὖν, τὸ λεγόμενόν γε, πάντα κάλων
ἐφέντες καὶ πᾶσαν φωνὴν ἀφιέντες. ἄθρει δὲ δὴ μετ' ἐμοῦ
τόδε· ἆρά γε νομίζεις οἷόν τέ τι εἶναι ἀνθρώπῳ περὶ μουσικῆς
βουλεύεσθαι, μήτε ἐπισταμένῳ περὶ μουσικῆς, μηδὲ ὅπως ἂν
κιθαριστέον εἴη αὐτῷ ἢ ἄλλο τι τῶν κατὰ μουσικὴν ποιητέον;
—ΣΙ. Οὐκ ἔγωγε.—ΣΩ. Τί δὲ περὶ στρατηγίας ἢ κυβερνη-
d τικῆς; τὸν μὴ ἐπιστάμενον μηδέτερα τούτων οἴει ἔχειν ἄν τι
βουλεύεσθαι περὶ τούτων τοῦ ἑτέρου ὅτι ποιητέον εἴη αὐτῷ;
ὅπως ἂν στρατηγητέον ἢ κυβερνητέον ἐκείνῳ αὐτῷ τῷ μὴ
ἐπισταμένῳ μήτε στρατηγεῖν μήτε κυβερνᾶν;—ΣΙ. Οὐχί.—
ΣΩ. Ἦ καὶ περὶ τῶν ἄλλων οὖν ἁπάντων οὕτως ἀξιοῖς ἔχειν,
περὶ ὧν ἂν μὴ ἐπίστηταί τις, μὴ εἰδέναι μηδὲ βουλεύεσθαί
πω δυνατὸν τῷ μὴ ἐπισταμένῳ περὶ αὐτῶν;—ΣΙ. Ἔγωγε.—
ΣΩ. Ἀλλὰ ζητεῖν περὶ ὧν ἄν τις μὴ ἐπιστήμων ᾖ. ἦ γάρ;—
e ΣΙ. Πάνυ μὲν οὖν.—ΣΩ. Τὸ μὲν αὐτὸ ἄρα οὐκ ἂν ἔτι εἴη τὸ
ζητεῖν τῷ βουλεύεσθαι.—ΣΙ. Πῶς δή;—ΣΩ. Ὅτι τὸ μὲν
ζητεῖν ἐστι δήπου ἐπὶ τούτοις οἷς ἂν μὴ ἐπίστηταί τις, τὸ
δὲ βουλεύεσθαι οὐχ οἷόν τ' εἶναι δοκεῖ περὶ ταῦτα ἀνθρώπῳ,
περὶ ἃ ἄν τις μὴ ἐπιστήμων ᾖ. ἢ οὐχ οὕτως ἐλέχθη;—
ΣΙ. Πάνυ γε.

c 3 κάλων Y et fecit A² (ω s. v.): κάλον A Z c 4 ἀφιέντες ci. Bekker: ἐφιέντες libri c 5 τέ] γέ libri c 8 δὲ] δαὶ fecit A² e 5 μὴ add. Ven. 184: om. A Y Z

ΣΩ. Οὐκοῦν ὑμεῖς χθὲς ἐζητεῖτε τὰ βέλτιστα ἐξευρεῖν τῇ πόλει, οὐκ ἠπίστασθε δὲ αὐτά; εἰ γὰρ ἠπίστασθε, οὐκ ἂν ἔτι δήπου ἐζητεῖτε αὐτά, ὥσπερ οὐδὲ ἄλλο οὐδὲν ὧν ἂν ἐπιστώμεθα ζητοῦμεν. ἦ γάρ;—ΣΙ. Οὐ γὰρ οὖν.—ΣΩ. Πότερον οὖν σοι δοκεῖ χρῆναι, ὦ Σίσυφε, ἂν μὴ ἐπίστηταί τις, ζητεῖν
ἢ μανθάνειν;—ΣΙ. Μανθάνειν ἔμοιγε νὴ Δία.—ΣΩ. Ὀρθῶς 390
γέ σοι δοκεῖ. ἀλλ' ἆρά γε καὶ διὰ τοῦτό σοι δοκεῖ χρῆναι μανθάνειν μᾶλλον ἢ ζητεῖν, διότι θᾶττον ἂν καὶ ῥᾷον ἐξεύροι τις, εἰ παρὰ τῶν ἐπισταμένων μανθάνοι, ἢ εἰ αὐτὸς ὁ μὴ εἰδὼς ζητοίη; ἢ δι' ἄλλο τι;—ΣΙ. Οὐκ, ἀλλὰ διὰ τοῦτο.

ΣΩ. Τί οὖν οὐκ ἀμελήσαντες χθὲς ὑμεῖς τοῦ βουλεύεσθαι περὶ ὧν ἂν μὴ ἐπίστασθε, καὶ τοῦ ζητεῖν τὰ βέλτιστα διαπράττεσθαι ἐν τῇ πόλει, ἐμανθάνετε παρὰ τῶν ἐπισταμένων
τινός, ὅπως ἂν ἐδύνασθε τὰ βέλτιστα διαπράττεσθαι τῇ b
πόλει; ἀλλ' ἐδοκεῖτέ μοι τὴν ἡμέραν ὅλην τὴν χθὲς αὐτοσχεδιάζοντες καὶ διαμαντευόμενοι καθῆσθαι περὶ ὧν οὐκ ἠπίστασθε, ἀμελήσαντες μανθάνειν, οἵ τε ἄρχοντες τῆς πόλεως καὶ σὺ μετὰ τούτων. ἴσως δ' ἂν φαίης ταῦτα ἐμοί τε εἶναι πεπαιγμένα πρὸς σὲ τοῦ διαλεχθῆναι μόνον εἵνεκα, σοί τε
οὐκ ἐσπουδασμένως ἀποδεδεῖχθαι. ἀλλὰ τοῦτό γε πρὸς Διός, c
ὦ Σίσυφε, σκόπει νῦν σπουδῇ· εἰ δοθείη τὸ βουλεύσασθαί τι εἶναι, καὶ μὴ ὥσπερ νῦν οὐδὲν ἐξευρίσκεται ἀλλοῖον ἢ ὅπερ ἐπιστήμη τε καὶ εἰκασία καὶ σχεδιασμός, ὀνόματι σεμνοτέρῳ μόνον κεχρημένον τούτῳ, ἄλλῳ δ' οὐδενί, ἆρ' ἂν οἴει αὐτῷ διενεγκεῖν τι ἑτέρους ἑτέρων πρὸς τὸ εὖ βουλεύεσθαί τε καὶ εὐβούλους εἶναι, ὥσπερ καὶ ἐν ταῖς ἄλλαις ἐπιστήμαις ἁπάσαις διαφέρουσιν ἕτεροι ἑτέρων, τέκτονες τεκτόνων ἰατροί
τε ἰατρῶν αὐληταί τε αὐλητῶν, οἵ τε ἄλλοι δημιουργοὶ d
ἅπαντες, αὐτοί τε αὑτῶν διαφέρουσιν, ὥσπερ καὶ οὗτοι οἱ ἐν ταύταις ταῖς τέχναις; ἢ οὕτως καὶ ἐν τῷ βουλεύεσθαι οἴει ἄν τι διενεγκεῖν ἑτέρους ἑτέρων;

a 4 ὁ] ἢ ὁ AY : ᾗ ὁ Z    a 8 τῶν Z : τῶν μὴ AY    c 2 τὸ scr. Ven. 184 : τῷ AYZ    d 3 ᾗ Schneider : ἡ libri

ΣΙ. Ἔγωγε.

ΣΩ. Εἰπὲ δή μοι· οὐχ ἅπαντες οἵ τε εὖ βουλευόμενοι καὶ οἱ κακῶς περὶ μελλόντων τινῶν ἔσεσθαι βουλεύονται;—ΣΙ. Πάνυ γε.—ΣΩ. Ἄλλο τι οὖν ἢ τὰ μέλλοντα οὔπω ἐστίν;—ΣΙ. Οὐ γὰρ δή.—ΣΩ. Εἰ γὰρ εἴη, οὐκ ἂν ἔτι δήπου μέλλοι
e ἔσεσθαι, ἀλλ' εἴη ἂν ἤδη. ἦ γάρ;—ΣΙ. Ναί.—ΣΩ. Οὐκοῦν εἰ μήπω ἐστίν, οὕτως οὐδὲ γέγονε τὰ μὴ ὄντα;—ΣΙ. Οὐ γάρ.—ΣΩ. Οὐκοῦν εἰ μήπω μηδὲ γέγονεν, οὔπω οὐδὲ φύσιν ἔχει οὐδεμίαν αὐτῶν;—ΣΙ. Οὐ γὰρ οὖν.—ΣΩ. Ἄλλο τι οὖν ἢ οἵ τε εὖ βουλευόμενοι καὶ οἱ κακῶς ἅπαντες βουλεύονται περὶ πραγμάτων οὔτε ὄντων οὔτε γεγενημένων οὔτε φύσιν οὐδεμίαν ἐχόντων, ὅταν περὶ τῶν μελλόντων βουλεύωνται;—ΣΙ. Φαίνονταί γε.

ΣΩ. Δοκεῖ οὖν σοι δυνατὸν εἶναι τοῦ μὴ ὄντος τυχεῖν τινι ἢ εὖ ἢ κακῶς;

ΣΙ. Πῶς τοῦτο λέγεις;

ΣΩ. Ἐγώ σοι φράσω ὅ γε βούλομαι εἰπεῖν. σκόπει γάρ.
391 πῶς ἂν τοξοτῶν πολλῶν διαγνοίης τόν τε χρηστὸν καὶ τὸν πονηρὸν ὅστις εἴη αὐτῶν; ἢ τοῦτο μὲν οὐ χαλεπὸν εἰδέναι; ἴσως γὰρ ἂν κελεύοις αὐτοὺς ἐπὶ σκοποῦ τινος τοξεύειν. ἦ γάρ;—ΣΙ. Πάνυ μὲν οὖν.—ΣΩ. Οὐκοῦν καὶ τὸν πλειστάκις βάλλοντα τοῦ σκοποῦ κατ' ὀρθὸν κρίνοις ἂν νικᾶν;—ΣΙ. Ἔγωγε.—ΣΩ. Εἰ δὲ σκοπὸς μηδεὶς εἴη κείμενος αὐτοῖς τοῦ τοξεύειν, ἀλλ' ἕκαστος βάλλοι ὅπως βούλοιτο, πῶς ἂν
b διαγνοίης τὸν εὖ ἢ κακῶς τοξεύοντα αὐτῶν;—ΣΙ. Οὐδαμῶς.—ΣΩ. Οὐκοῦν καὶ τοὺς βουλευομένους ἢ εὖ ἢ κακῶς, εἰ μὴ ἐπίσταιντο περὶ ὅτου βουλεύοιντο, ἀπορήσειας ἂν διαγνῶναι;—ΣΙ. Ἔγωγε.—ΣΩ. Οὐκοῦν εἰ περὶ μελλόντων πραγμάτων βουλεύονται οἱ βουλευόμενοι, περὶ τῶν οὐκ ὄντων βουλεύονται;—ΣΙ. Πάνυ γε.—ΣΩ. Οὐκοῦν τοῦ γε μὴ ὄντος οὐχ οἷόν τ' οὐδενὶ τυχεῖν ἐστιν; πῶς γὰρ ἄν τίς σοι δοκεῖ τοῦ μὴ
c ὄντος δύνασθαι τυχεῖν;—ΣΙ. Οὐδαμῶς.—ΣΩ. Οὐκοῦν ἐπειδὴ

b 7 δοκεῖ A Z : δοκῇ Y : δοκοῖ vulg.

*οὐκ ἔστιν τοῦ μὴ ὄντος τυγχάνειν οἷόν τε, οὐδεὶς ἂν ἔτι περὶ τῶν μὴ ὄντων βουλευόμενος τυγχάνοι; τὰ γὰρ μέλλοντα τῶν οὐκ ὄντων ἐστίν. ἢ γάρ;*—ΣΙ. *Ἔμοιγε δοκεῖ.*—ΣΩ. *Οὐκοῦν οὐδ' ὁ μὴ τυγχάνων τῶν μελλόντων, οὐδεὶς ἂν οὔτ' εὔβουλος οὔτε κακόβουλος εἴη ἀνθρώπων ἔτι;*—ΣΙ. *Οὐ φαίνεται.*—ΣΩ. *Οὐδέ γε εὐβουλότερος οὐδὲ κακοβουλότερος ἕτερος ἑτέρου εἶναι, εἰ καὶ μὴ ἐπιτυχέστερος καὶ ἀποτυχέστερος εἴη*
*τοῦ μὴ ὄντος.*—ΣΙ. *Οὐ γὰρ οὖν.* d

ΣΩ. *Πρὸς τί οὖν ποτε ἀποβλέποντες ἄνθρωποι πρᾶγμα, ἀποκαλοῦσιν ἀνθρώπους εὐβούλους τε καὶ κακοβούλους εἶναί τινας; ἆρά γε ἄξιόν ἐστιν καὶ αὖθίς ποτε περὶ αὐτοῦ ἐνθυμηθῆναι, ὦ Σίσυφε;*

# ΕΡΥΞΙΑΣ

St. III p. 392

*Ἐτυγχάνομεν περιπατοῦντες ἐν τῇ στοᾷ τοῦ Διὸς τοῦ* a
*ἐλευθερίου ἐγώ τε καὶ Ἐρυξίας ὁ Στειριεύς· εἶτα προσηλθέτην ἡμῖν Κριτίας τε καὶ Ἐρασίστρατος ὁ Φαίακος τοῦ Ἐρασιστράτου ἀδελφιδοῦς—ἐτύγχανεν δὲ τότε νεωστὶ παρὼν ἀπὸ Σικελίας καὶ τῶν τόπων τούτων ὁ Ἐρασίστρατος—προσελθὼν*
*δ' ἔφη, Χαῖρε, ὦ Σώκρατες.—Καὶ σύ γε, ἦν δ' ἐγώ. τί* b
*γάρ; καλόν τι ἀπὸ Σικελίας ἔχεις λέγειν ἡμῖν;—Καὶ πάνυ. ἀλλὰ βούλεσθ', ἔφη, πρῶτον καθιζώμεθα; κέκμηκα γὰρ χθὲς βαδίσας Μεγαρόθεν.—Πάνυ γε, εἰ δοκεῖ.—Τί οὖν, ἔφη, βούλεσθε πρῶτον ἀκούειν τῶν ἐκεῖ; πότερον περὶ αὐτῶν ἐκείνων ὅτι πράττουσιν, ἢ ὅπως πρὸς τὴν πόλιν ἔχουσιν τὴν ἡμετέραν; ἐκεῖνοι γὰρ ἐμοὶ δοκοῦσιν πεπονθέναι πρὸς ἡμᾶς οἷόνπερ οἱ σφῆκες. καὶ γὰρ τούτους ἐάν τις κατὰ σμικρὸν*
*ἐρεθίζων ὀργίσῃ, ἄμαχοι γίγνονται, ἕως τις αὐτοὺς ἐπιθέμενος* c

c 8 *ἀποτυχέστερος* AY : *ἀτυχέστερος* Z  d 2 *τί* Y : *τί*** A : *τίνα* Z  a 2 *στιριεύς* AZO  *προσηλθέτην* L : *προηλθέτην* AO  b 1 *σύ γε* AO : *σὺ δὲ* L  b 2 *καλόν*] *καινόν* Fischer  b 4 *γε* L : om. A